## ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ.

Τὰ μὲν τῆς γνώμης τοῦ μονάρχου τῶν Ὀθωμανῶν Μουσταφᾶ, τοῦ καιροῦ προϊόντος ἡμερώτερα ἐγίνετο τῇ ἀγχινοίᾳ τοῦ αὐτῷ ἐπιτροπεύοντος τιθασσευόμενα. Ἀνεκτᾶτο δὲ καὶ ἀνελάμβανε τῇ τούτου φρονήσει καὶ τὰ πεπονημένα τοῦ ἡμετέρου τῶν ὀρθοδόξων γένους ταῖς τῶν λατίνων ἐπηρείαις· πολύπειρος γὰρ καὶ πολυμαθὴς ὢν ὁ τῆς βασιλείας τότε ἐπίτροπος Ραγῆπος, ἐπίστατο τὰς καθ' ἡμῶν ἐξ ἀρχῆς αὐτῶν βλάβας καὶ τὰς τοσαύτας ἐπιβουλάς, καὶ ἐπεὶ κατατρυχομένους τοὺς τῇ Ρώμῃ προσέχοντας τῷ πολέμῳ τοῦ βασιλέως τῆς Προυσίας ἑώρα, κατολιγωρῶν αὐτούς, ἐδικαίου τὰ ἡμέτερα· διὸ καὶ τὰ ἀδίκως ἀφαιρεθέντα, διὰ προσπαθήσεως καὶ διενεργείας, μεσιτείας τε καὶ ἐκλιπαρήσεως τοῦ βασιλέως τῶν Κελτογάλλων καὶ πολλῶν χρημάτων τῶν παπιστῶν, ἐν Ἱεροσολύμοις προσκυνήματα, τοῦ μακαριωτάτου κυρίου Παρθενίου ἐπιμόνως ἐκλιπαροῦντος προσχεῖν τῷ δικαίῳ, διαδικάσας ὀρθῶς, ἀφελόμενος ἐκείνων ἡμῖν ἐπέτρεψε καὶ διὰ βασιλικοῦ διπλώματος, ὡς ἀπ' ἀρχῆς ἦν, ἡμῖν διαμένειν προσεκυρώσατο, καὶ θᾶττον ἐβοήθει, εἰ ἔγνω ἐκ τοὐμφανοῦς ἐπηρεαζομένους· κατεστάλη γοῦν ἡ βακχεία τῶν δυτικῶν κατὰ τῆς ἀμωμήτου ὀρθοδόξου ἐκκλησίας μὴ ἔχουσα συνεργὸν τὴν ἀσέβειαν, διὰ τὴν φρόνησιν τοῦ ἐπιτροπεύοντος, καὶ δολίως ὑφέρπουσα, διενέμετο εἴ τι που σεσηπός· κατεπατεῖτο μέντοι καὶ ἠτιμάζετο καὶ ὑπὸ τηλικούτου δυνάστου, καί γε παράδοξον ἦν, ὅτι καὶ τοὺς ἐκκλησιῶν προστάτας καὶ πατριάρχας προΐστασθαι τῆς ὀρθοδοξίας αὐτῇ λέξει προσέταττε.

Οἱ δὲ ἀρχιερεῖς καὶ κληρικοὶ παραστάντες τῷ ἐπιτρόπῳ τῆς βασιλείας καὶ ἐξαιτήσαντες πατριάρχην τὸν τότε προεδρεύοντα Χαλκηδόνος πρῴην Ἰπεκίου κύριον Ἰωαννίκιον, καὶ